# *ΝΕΜΕΟΝΙΚΑΙΣ*

## I (476?)

## *ΧΡΟΜΙΩΙ ⟨ΣΥΡΑΚΟΣΙΩΙ⟩ [ΑΙΤΝΑΙΩΙ] ΙΠΠΟΙΣ*

metrum: dactyloepitr. *Α′–Δ′*

*ΣΤΡ* — E ‖ [2] — e —$^{-2}$⋮$^{20}$ D ‖ [3] D ‖ [4] — e — D ‖ [5] E ‖
[6] D d$^2$ — E ‖ [7] e — D E — E |||

*ΕΠ* ⏑⏑E — D | e ‖ [2] D | d$^2$ | — E ‖ [3] e — D d$^2$ — E ‖
[4] — e d$^1$ (vel potius — e — | d$^2$) | E |||

*Α′* *Ἄμπνευμα σεμνὸν Ἀλφεοῦ,*
*κλεινᾶν Συρακοσσᾶν θάλος Ὀρτυγία,*
[3] *δέμνιον Ἀρτέμιδος,*
*Δάλου κασιγ'νήτα, σέθεν ἁδυεπής*
*ὕμνος ὁρμᾶται θέμεν*
[6] *αἶνον ἀελλοπόδων*
*μέγαν ἵππων, Ζηνὸς Αἰτναίου χάριν·*
*ἅρμα δ' ὀτ'ρύνει Χρομίου Νεμέα*
*τ' ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος.*
*ἀρχαὶ δὲ βέβ'ληνται θεῶν*
*κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.*
[3] *ἔστι δ' ἐν εὐτυχίᾳ*
*πανδοξίας ἄκ'ρον· μεγάλων δ' ἀέθλων*